# ΑΝΕΜΩΝ ΘΕΣΕΙΣ ΚΑΙ ΠΡΟΣΗΓΟΡΙΑΙ ἐκ τῶν Ἀριστοτέλους.

Περὶ σημείων.

Βορ'ρᾶς ἐστὶν ἐν μὲν Μαλλῷ Παγρεύς· πνεῖ γὰρ ἀπὸ κρημνῶν μεγάλων, καὶ ὀρῶν διπλῶν, παρ' ἄλληλα κειμένων, ἃ καλεῖται Παγρικά· ἐν δὲ Καύνῳ Μέσης· ἐν δὲ Ῥόδῳ, Καυνίας πνεῖ γὰρ ἀπὸ Καύνου, ἐνοχλῶν τὸν λιμένα αὐτῶν, τὸν ἀκανίαν. ἐν δὲ Ὀλβίᾳ τῇ κατὰ Μύγαλον τῆς Παμφυλίας, Γαυρεύς· πνεῖ γὰρ ἀπὸ νήσου ἣ καλεῖται Γαυρεύς. B τινὲς δὲ αὐτὸν βορρᾶν οἴονται εἶναι, ἐν οἷς καὶ Αὐρυνδωτεῖς οἱ κατὰ Φασηλίδα. Καικίας· ἐστὶν ἐν μὲν Λέσβῳ καλεῖται Θηβαΐας· πνεῖ γὰρ ἀπὸ Θήβης πεδίου τοῦ ὑπὲρ τὸν Ἐλαιατικὸν κόλπον τῆς Μυσίας, ἐνοχλεῖ δὲ τὸν Μιτυληναίων λιμένα, μάλιστα δὲ τὸν Μαλόεντα· παρὰ δὲ αἰκανίας, ὃν ἄλλοι βορρᾶν οἴονται εἶναι. Ἀπηλιώτης· ἐστὶν ἐν μὲν Τριπόλει τῆς Φοινίκης, Ποταμεὺς καλεῖται· C πνεῖ [δὲ] ἐκ πεδίου ὁμοίου αὐλῶνι μεγάλῃ περιεχομένου ὑπό τε τοῦ Λιβάνου καὶ τοῦ Βαπύρου ὄρεος· παρὰ καὶ Ποταμεὺς καλεῖται ἐνοχλεῖ δὲ καὶ Ποσιδώνειον. ἐν δὲ τῷ Ἰσσικῷ κόλπῳ, καὶ περὶ Ῥωσὸν, Συριάδος· πνεῖ δὲ ἀπὸ τῶν Συρίων πυλῶν ἃς διέσχισεν ὅτε Ταῦρος καὶ Ταυρόστα ὄρη· ἐν δὲ τῷ Τριπολιτικῷ κόλπῳ Μαρσεύς, ἀπὸ Μάρσου κώμης· D ἐν δὲ Προκοννήσῳ καὶ ἐν Τήῳ καὶ ἐν Κρήτῃ καὶ Εὐβοίᾳ καὶ Κυρήνῃ, Ἑλλησποντίας· μάλιστα δὲ ἐνοχλεῖ τόν τε τῆς Εὐβοίας Καφηρέα, καὶ τὸν Κυρηναῖον λιμένα, καλούμενον δὲ Ἀπολλωνίαν· πνεῖ δὲ ἀφ' Ἑλλησπόντου. ἐν δὲ Σινώπῃ, Βερεκυντίας ἀπὸ τῆς κατὰ Φρυγίαν A τόπων πνέων· ἐν δὲ Σικελίᾳ, Καταπορθμίας, πνέων ἀπὸ τοῦ πορθμοῦ. τινὲς δὲ αὐτὸν Καικίαν οἴονται εἶναι, Θηβάναν προσαγορεύοντες· Εὖρος ἐστὶν ἐν μὲν Αἰγαῖς ταῖς κατὰ Συρίαν Σκοπελεὺς καλεῖται, ἀπὸ τοῦ Ῥωσίων σκοπέλου· ἐν δὲ Κυρήνῃ Καρβᾶς ἀπὸ τῶν Καρβανῶν τῶν κατὰ Φοινίκην· διὸ καὶ τὴν αὐτὸν Φοινικίαν καλοῦσί τινες. εἰσὶ δὲ οἳ καὶ Ἀπηλιώτην νομίζουσιν εἶναι. B Ὀρθόνοτος· τοῦτον οἱ μὲν Εὖρον, οἱ δὲ Ἀμνέα προσαγορεύουσι. Νότος δὲ, ὁμοίως παρὰ πᾶσι καλεῖται. τὸ δὲ ὄνομα, διὰ τὸ νοσώδη εἶναι· ἔξω δὲ κάτομβρον, κατ' ἀμφότερα δὲ νότον. Λευκόνοτος· τὸ δὲ ὄνομα ἀπὸ τοῦ συμβαίνοντος. λευκαίνεται γὰρ . . . . Λίψ· καὶ ἐστὶ τὸ ὄνομα ἀπὸ Λιβύης, ὅθεν πνεῖ. Ζέφυρος· καὶ ἐστὶ τόδε τὸ ὄνομα, διὰ τὸ ἀφ' ἑσπέρας πνεῖν. ἡ δὲ ἑσπέρα . . Ἰάπυξ· ἐστὶν ἐν C Τάραντι Σκυλητῖνος, ἀπὸ χωρίου Σκυλαντίμου καταδεοραλέοντο φρυγίας· ὑπὸ δὲ τινῶν Φαραγγίτης· πνεῖ γὰρ ἔκ τινος φάραγγος τῶν κατὰ τὸ Πηγαῖον· παρὰ πολλοῖς δὲ Ἀργέστης. Θρακίας κατὰ μὲν Θρᾴκην, Στρυμονίας· πνεῖ γὰρ ἀπὸ Στρυμόνος ποταμοῦ. κατὰ δὲ τὴν Μεγαρικὴν Σκίρρων, ἀπὸ τῶν Σκιρρωνίδων πετρῶν. ἐν δὲ Ἰταλίᾳ καὶ Σικελίᾳ Κίρκιας, διὰ τὸ πνεῖν D ἀπὸ τοῦ Κιρκαίου· ἐν δὲ Εὐβοίᾳ καὶ Λέσβῳ, Ὀλυμπίας. τὸ δὲ ὄνομα ἀπὸ τοῦ Πιερικοῦ Ὀλύμπου. ὀχλεῖ δὲ Πυρραίοις. ὑπογέγραπται δέ σοι καὶ τὰς θέσεις αὐτῶν, ὡς κεῖνται καὶ πνέουσιν, ὑπογράψας τὸν τῆς γῆς κύκλον, ἵνα καὶ πρὸ ὀφθαλμῶν σοι τεθῶσι.

## ΑΡΙΣΤΟΤΕΛΟΥΣ περὶ κόσμου πρὸς Ἀλέξανδρον.

Κεφάλαιον α.

Πολλάκις μὲν ἔμοιγε θεῖόν τι καὶ δαιμόνιον ὄντως χρῆμα, ὦ Ἀλέξανδρε, ἡ φιλοσοφία ἔδοξεν εἶναι, μάλιστα δὲ, ἐν οἷς μόνη διαραμένη πρὸς τὴν

E

## ARISTOTELIS LIBER DE MVNDO ad Alexandrum Macedoniæ Regem.

*Guillelmo Budæo interprete.*

CAPVT I.

Mihi quidem sæpe diuina quędam res, Alexander, admiratione que digna visa est philosophia: præcipuè verò ea in parte, F in qua sola ipsa sublimè sese tollens ad contemplandas rerum naturas magno illic studio contédit existenté in eis veritaté